❖ ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΩΡΩΠΟΥ ΚΑΙ ΦΥΛΗΣ

✠ Ἱερὰ Μονὴ Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης

# Μεγάλη Παρασκευὴ καὶ Πάσχα στὴν Ἱερὰ Μητροπολιτικὴ Μονὴ τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης Φυλῆς

## Μεγάλη Παρασκευὴ - Ἀποκαθήλωσις



Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, ὁ Ἀριμαθαίας καθεῖλε, τὴν τῶν ἁπάντων ζωήν, σμύρνῃ καὶ συνδόνι σε, Χριστέ, ἐκήδευσε· καὶ τῷ πόθῳ ἠπείγετο, καρδίᾳ καὶ χείλει, σῶμα ὸ ἀκήρατον σοῦ περιπτύξασθαι· ὅμως συστελλόμενος φόβῳ, χαίρων ἀνεβόα σοι. Δόξα, τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

## Μεγάλη Παρασκευὴ - Ἐπιτάφιος

Ἡ Ζωὴ ἐν Τάφῳ κατετέθης, Χριστέ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν, δοξάζουσαι τὴν Σήν.



Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ Σου προσφέρουσι, Χριστέ μου.



Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

# Ἅγιον Πάσχα - Ἀνάστασις



Χριστὸς Ἀνέστη! Ἀληθῶς Ἀνέστη!



Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ, Ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς· καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.



Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.



Ὡς ὄντως ἱερὰ καὶ πανέορτος αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.



Αὕτη ἡ ἡμέρα, ἥν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

## Ἅγιον Πάσχα - Ἑσπερινὸς τῆς Ἀγάπης



Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.



Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν· Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.



Ἡ ἀνάστασίς σου, Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα. Παντοδύναμε, Κύριε, δόξα σοι.



Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ, οἱ μισοῦντες αὐτόν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινόν, ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.



Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· συγχωρήσωμεν



πάντα τῇ ᾿Αναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

